UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Nilo. 139.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

mine risum mouebis. Vnde etiam quidam fugiunt, ansam homini contentionis ac rixæ cupido præbere metuentes) verùm inuestigatis diligenter argumentis solutiones habebis. Hallucinãtur enim interpretationes, argumentis ac materiis destitutę.

γέλωτα. διὸ καὶ τινὲς φεύγουσι, λαβὴν φιλομαχοῦντι ἀνθρώπῳ δοῦναι δεδιότες, ἀλλὰ τὰς ὑποθέσεις ἀκριβῶς ζητήσας, ἕξεις τὰς λύσεις. τυφλώττουσι γὰρ αἱ ἑρμηνεῖαι τῶν ὑποθέσεων χηρεύουσαι.

*Apollonio Episcopo.* 137.

Ego adulationem timore valentiorẽ ac molestiorem esse assero. Nam quæ vis efficere nequit, officium efficit: ac frequenter eos, quos metus minimè subegit, assentatio in seruitutem addixit. Quocirca nobis faciendum est, vt & aduersus metum, & aduersus blanditias (hoc est aduersus duos seruiles affectus) strenuum animum præstemus: ac veritatem solam colamus.

Ἀπολλωνίῳ ἐπισκόπῳ. ρλζ.

Ἐγὼ τοῦ φόβου τὴν κολακείαν δυνατωτέραν καὶ ἀργαλεωτέραν εἶναί φημι. ὅσα γὰρ μὴ δύναται ἀνάγκη, δύναται θεραπεία, καὶ τοὺς μὴ χειρωθέντας ὑπὸ φόβου, κολακεία πολλάκις κατεδουλώσατο. χρὴ οὖν καὶ πρὸς φόβον, καὶ πρὸς θωπείαν μὴ ἀνδρίζεσθαι. ἑκάτερον καὶ ἀνελεύθερον τὸ πάθος. τὴν δ' ἀλήθειαν μόνην τιμᾶν.

*Eidem.* 138.

Probum virum, & Dei amantem, & hominum item amore præditum esse oportet: vt nec ob virtutis sublimitatem, animúmque diuini numinis addictũ & consecratum homines cõtemnat, nec rursum propter homines diuinum numen negligat. Quamuis enim charitas erga Deum multo maior sit: tamen si cum charitate ac beneuolentia erga homines connectatur, magis explendescit.

Τῷ αὐτῷ. ρλη.

Χρὴ τὸν εὐδόκιμον καὶ φιλόθεον εἶναι καὶ φιλάνθρωπον, ἵνα μήτε διὰ τὸ ὕψος τῆς ἀρετῆς, καὶ τὸ ἀνακεῖσθαι τῷ θείῳ τῶν ἀνθρώπων καταφρονοίη, μήτε διὰ τοὺς ἀνθρώπους τοῦ θείου ἀμελοίη. ἡ γὰρ ἀγάπη ἡ πρὸς τὸ θεῖον, εἰ καὶ μείζων ἐστὶ πολλῷ τῆς πρὸς ἀνθρώπους, συμπλεκομένη, λαμπροτέρα γίνεται.

*Nilo.* 139.

Tres illi pueri, ac Daniel, curiosam & superuacaneam Chaldęorum disciplinam minimè didicerunt: caue id existimes. Nã qui tantam suę erga Deum pietatis curam gesserunt, vt ne regios quidem cibos perciperent, vnquámne, etiamsi mille ipsis mortes propositæ fuissent, ad seruilem doctrinam prouolui sustinuissent? Quòd autem hęc verba sint, locupletissima testis est sacra Scriptura, his verbis vtens: Dedit eis Deus ingenij acumen & prudentiam in Grammatica & Sapientia. hoc est: Expectatione omni ac spe celerius doctrinam in literis sitam capiebant. Per Gramma-

Νείλῳ. ρλθ.

Οὐ τὴν παρὰ Χαλδαίοις περίεργον παίδευσιν ἔμαθον οἱ παῖδες οἱ τρεῖς καὶ ὁ Δανιήλ. μὴ τοῦτο νομίσῃς. οἱ γὰρ τοσαύτην τὴν εἰς τὸ θεῖον εὐσεβείας τὴν ἐμμέλειαν ποιησάμενοι, ὡς μηδὲ βρωμάτων βασιλικῶν μεταλαβεῖν· πότε ἂν ἠνέχοντο, εἰ καὶ μυρίοι ἠπειλήθησαν θάνατοι, εἰς ἀνελεύθερον παίδευσιν ἐκκυλισθῆναι. ὅτι δὲ ταῦθ' οὕτως ἔχει, μάρτυς ἀξιόχρεως ἡ γραφὴ λέγουσα· δέδωκεν αὐτοῖς ὁ θεὸς σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ, τουτέστι πάσης προσδοκίας ὀξύτερον καὶ ἐλπίδος ὠκύτερον, ἐδέχοντο τὴν ἐν